ἀρετῶν ἀποδειλιῶ μέγεθος καὶ ὅλως τῆς γλώσσης ἐνίσχεταί μοι τὸ ῥόθιον; σὺ δ᾿ ἀλλ᾿, ὦ καὶ τὴν γλῶτταν εὔστροφε καὶ τὸν νοῦν περιδέξιε καὶ τοῖς πᾶσι καλοῖς ἀνυπέρβλητε, ἵλεως μέν μοι εἴης μικροῖς οὕτω λόγοις τὰ μεγάλα ταλαντεύοντι καί μοί τι καὶ τῆς σῆς Μούσης ἐνστάλαξον καὶ τὸν λόγον ὑπέρειδε καταπίπτοντα. σὺ γὰρ οὕτω μὲν προήχθης εὐτυχῶς οὕτω δὲ ἐτράφης εὐγενῶς, ὡς μήτε τὴν τροφὴν τῆς γενέσεως λείπεσθαι μήτε τῆς τροφῆς ἀπᾴδουσαν εἶναι τὴν γένεσιν. ἀλλ᾿ οἷς μὲν ἔχει τι καὶ λαμπρὸν ἡ γονή, τούτων σὺ παρὰ πολὺ τὴν ἄλλην ἀγωγὴν σεμνότερος· οἷς δὲ τὸ τῆς ἀγωγῆς ἐλευθέριον, τούτων σὺ τὴν γονὴν αὖθις λαμπρότερος. μᾶλλον δὲ νικᾷς γένους μὲν ὕψει τοὺς ἐν γένει σεμνούς, τῷ δὲ τῆς τροφῆς εὐαγώγῳ τοὺς ὅσοις τοῦτο καὶ μόνον τὸ σεμνολόγημα· ἢ καὶ δι᾿ ἀμφοτέρων ἀμφοτέρους ὑπερνικᾷς, καὶ γενόμενος εὐγενῶς καὶ τραφεὶς εὐγενέστερον.

Οἵ γάρ σε τεκόντες, ὦ θαυμάσιε, τὸ ‛χρὴ παῖδ᾿ ἔτ᾿ ἐόντα καλὰ διδάσκειν 18
ἔργα᾿ παρὰ τῆς ποιήσεως ἐδιδάχθησαν καί σε, τοῦ λόγου μικρὸν ἐπιλάμψαντος, οὔπω σχεδὸν τελέως τὴν γλῶτταν διηρθρωμένον παιδεύειν εὐθὺς ἐπεχείρουν καὶ γραμματισταῖς παρακατετίθουν, καί σοι λόγος ἦν καὶ πρὸ τοῦ λόγου τὸ σπούδασμα. ἐπεὶ δέ σοι καὶ τὴν γλῶτταν τὸ τῆς ἡλικίας τελεώτερον ἀνεκάθηρεν, ὑπὸ γραμματικοῖς ἐκπαιδεύῃ καὶ φυλοκρινεῖς τίνα μὲν τῶν ὀνομάτων Ἑλληνικά τε καὶ εὔμουσα καὶ τῆς Ἀττικῆς εὐγλωττίας ἐναποστάζοντα, τίνα δὲ καὶ τῆς βαρβάρου γλώττης δυσηχῆ τε καὶ ἄμουσα· καὶ τῶν μὲν τὸ βαρβαρῶδες ἀποσκυβαλίζεις, τῶν δ᾿ ἀντεπεισάγεις τῇ γλώττῃ τὸ εὔχαρι. | ἔπειτα μέντοι καὶ τὰ γραμματικῶν
406v] ἐκπονηθεὶς τελεώτατα, ἀνατρέχεις ἐπὶ τὴν ποίησιν καὶ τὸν τῆς Καλλιόπης λειμῶνα περιίπτασαι τάχιον, κἀκεῖθεν ἀποκερδαίνεις τὸ μεγαλήγορόν τε καὶ εὔρυθμον καὶ δίκην μελίττης ἐπισυλλέγεις τῆς ποιητικῆς ἄνθης τὸ χρήσιμον ὁπόσον ἐς τὰ μέτρα φέρει τι χάριτος. ἐντεῦθεν Ὑμηττός σοι τὸ στόμα γίνεται καὶ μετρικοῦ σίμβλον μέλιτος, καὶ πλείους ἐφίπταντό σου τῇ γλώττῃ χάριτες ἢ τῷ τοῦ Πινδάρου στόματι μέλιτται. εἶπεν ἄν τις ἰδὼν τότε σοῦ τὴν γλῶτταν τοῖς μέτροις ἐναπορρέουσαν ἐκείνην εἶναι τὴν γλυκεῖαν τὴν θαυμαστὴν τὴν ἑπτάκρουνον Καλλιρρόην τοῦ Πλάτωνος· ἀλλ᾿ εἶχέ τί σοι καὶ πλέον ἡ γλῶττα τῆς πηγῆς ἐκείνης ἐπικρουνίζουσα, καὶ πηγή τις ἦν Μουσῶν ἐννεάκρουνος. ὡς δὲ καὶ τὰ τῆς Καλλιόπης κόρον εἶχέ σοι παιδικά, ἐπὶ τὸν Ἑρμῆν καὶ τὴν ἐκείνου παλαίστραν ἐπαποδύῃ καὶ τοῦ θεοῦ τὸ λόγιον εὐθὺς ὑφαρπάζεις, καὶ γίνῃ μετ᾿ οὐ μακρὸν διαχυτι-